ΚΕΦ. ΙΔ'.

Περὶ Προθέσεως.

§. σκέ. Πρόθεσις δὲ, ἡ μὲν, μονοσύλλαβος, ἡ δὲ, δισύλλαβος. Καὶ μονοσύλλαβοι μόν εἰσιν ἕξ. Ἐν, εἰς, ἐξ, σὺν, πρὸς, πρό. δυοκαίδεκα δὲ δισύλλαβοι. Ἀνὰ, κατὰ, διὰ, μετὰ, παρὰ, ἀντὶ, ἐπὶ, περὶ, ἀμφὶ, ἀπὸ, ὑπὸ, ὑπέρ.

ΚΕΦ. ΙΕ'.

Περὶ Ἐπιῤῥήματος.

§. σκς'. Τῶ δὲ Ἐπιῤῥήματος τρόποι, τεσσαράκοντα δύο. Τὰ μὲν γὰρ καλῶνται χρόνῳ· οἷον, νῦν, τότε, αὖθις, τόφρα, τέως, ἕως, πηνίκα, ἔπειτα, μετέπειτα, σήμερον, αὔριον, χθὲς, ὃ ἢ ἐχθὲς λέγεται, ἤδη, πάλαι, ἀεί. [illegible]

Τὰ δὲ, Τόπῳ, οἷον, ἄνω, κάτω, ἔξω, ἔσω, ἔνδον, ἐγγὺς, πόῤῥω, ἐναντίον, χαμαὶ, ἔνθα, ὅθεν, ἐπέκεινα, μακράν. [illegible]

Τὰ δὲ, Ποιότητος, οἷον, εὖ, καλῶς, ἡδέως, σοφῶς, κυνηδὸν, βοτρυδὸν, ἀγεληδόν. Τούτων δὲ ὅσα γίνονται ἀπὸ τῆς γενικῆς πληθυντικῆς, ἢ μεσότητος προσαγορεύονται· οἷον, σοφῶς, ἀπὸ τῶν σοφῶν, καλῶς, ἀπὸ τῶν καλῶν. [illegible]

Τὰ δὲ, Ποσότητος· οἷον, ἅπαξ, δὶς, τρὶς, τετράκις, πολλάκις, ὀλιγάκις. [illegible]

Τὰ δὲ, Ἀθροίσεως· οἷον, ἅμα, ὁμῦ, συλλήβδην,